κώφωσις ὀφθαλμῶν· νῦν τὴν κώφωσιν ἀντὶ τοῦ παρεμποδισμοῦ τέταχεν. κυρίως γὰρ ἐπὶ τῆς ἀκοῆς τέταχεν.

κνήστρου· κνηστῆρος. Νίκανδρός φησι·

σιλφίου ἣν κνηστῆρι κατατρίψαιεν ὀδόντες.

κυρβασίην· τὴν λεγομένην τιάραν. Ἑκαταῖος δέ φησιν, ὅτι πῖλον βαρβαρικὸν οἱ κωμικοὶ λέγουσι.

TESTIMONIA 1 De morbo sacro 15 t. VI 388 L 4 De morbis III 7 t. VII 126; 16 p. 148 L 8 Θ 104 10 De morb. mul. I 57 t. VIII 144 L 11 l. l. II 121 t. VIII 262 L 13 ἀκοῆς: cf. coac. praenot. II 6,186 t. V 624 L 14 De morb. mul. II 169 t. VIII 318 L — Nicander Ther. n. 85 16 De morb. mul. II 186 t. VIII 368 L — Hecataei fragmentum fugit CMüllerum fragm. hist. gr. uol. II p. 384

ADNOTATIO 1 καὶ κραύγασοι om. ς 2 κάσιον Foes: cf. Strabo XVI p. 750 Bernhardy ad Dionys. Perieg. p. 768 κάσειον B κασσεῖον AC ἴσον B τὸ C συρικὸν B καλούμενον em. thes. Paris. t. IIII c. 1003 κινούμενον φ Κασίου Foes κασείου AB κασσείου C 4 πρέπωσι C 7 glossa admodum suspecta: cf. Foes' p. 337 κηρίων: debebat κηριῶν 8 κατηπέδανόν BC κατηπέδανος z Charterius κατησθενικός BC 9 νύ om. φ: add. ς 10 κύρκάναται B κυρκάναται C 11 Hesych. II 529 κραμβεῖον ς 12 cf. Valckenaer animadu. ad Ammon. p. 134 13 τέταχε C ἀκοῆς τέταχε AC ἀλλαχοῦ τέταχε uel τέτακται coni. Stephanus 14 Galen. p. 502 κνήστρον B Νίκανδρος φησὶ BC 15 ἣν φ: em. z κατατρίψειαν codices Nicandri ὀδόντες z ὀδόντας AC ὀδόντας B 16 Galen. p. 510 Poll. VII 58 Hesych. II 557 τιάρίναν C Ἑκαταῖος: est Abderita: cf. quae disputaui n. jahrb. f. philol. uol. LXXXVII p. 532

Digitized by Google

κρησέρης· κρησέραν λέγει ῥάκος χονδρὸν καὶ ἀραιόν, δι' οὗ διηθοῦσί τινα ὡς δι' ἠθμοῦ. μέμνηται καὶ Ἀριστυφάνης ἐν ἀττικαῖς λέξεσι.

κακήθεα· τὰ κακοήθη.

5 κλισίην· τὴν κλίνην, παρὰ τὸ ἐν αὐτῇ κατακλίνεσθαι.

κυρηβίων· τῶν ἀχύρων καὶ πιτύρων. ἀττικὴ δ' ἡ λέξις.

κεάσει· σχίσει.

καρκινοῦσθαι· σκληρύνεσθαι.

κρημνοί· τὰ χείλη τοῦ γυναικείου αἰδοίου.

10 κρύωξα· λάχανον ὅμοιον σελίνῳ, φυόμενον ἐγγὺς θαλάσσης.

κεδρίνῳ ἐλαίῳ· τῇ κεδρίᾳ.

κάτοπτρον· ἡ μηλωτίς.

κρήγυον· ἀληθές. οἱ δὲ ἀγαθόν, ὡς καὶ Ὅμηρος·

μάντι κακῶν, οὔ πώ ποτέ μοι τὸ κρήγυον εἶπας.

15 Ἀρχὴ τοῦ λ

Λέγων· διακρίνων. καταριθμούμενος, ὡς καὶ Ὅμηρος·

αἱμασιάς τε λέγων καὶ δένδρεα μακρὰ φυτεύων.

TESTIMONIA 1 De morb. mul. II 118 t. VIII 256 L 2 Aristoph. Byz. fragm. XXX p. 187 Nauck 4 De morb. mul. II 141 t. VIII 314 L 5 l. c. II 143 p. 316 L 6 l. s. II 149 p. 326 L 8 De nat. mul. 31 t. VII 346 L 9 De locis in hom. 29 t. VI 322 L 11 cf. de nat. mul. 33 t. VII 368 L 13 Coac. praenot. I 2, 31 t. VI 592 L — *A* 106 16 σ 359

ADNOTATIO 1 Galen. p. 508 Pollux VI 74 κρησέρης scripsi κνησέρης A κνησέρις C κνησέρου B κρησέραν ego κνησέρην ACz κνησέρα B διηθοῦσι τινὰ BC 2 ἀριστοφανής B 4 κακήθεα scripsi conl. Galeno p. 488 a Foesio p. 301 correcto κικήθα φz 5 cf. Phauorin. κατὰκλίνεσθαι C 6 Galen. p. 510 schol. Aristoph. eq. u. 254 κηρυβίων Foes p. 365 κηρυβίων φ δὲ C 7 κεάσῃ· σχίσῃ Foes p. 330 conl. Hippocr. de morb. mul. II 153: neque scio an recipiendum sit 9 κρημνοί scripsi: cf. Galen. p. 506 Rufus Ephes. p. 31 Clinch κρήμνη φ Phauorinus 11 κεδρέα C 12 ἡ μηλωτίς z ἡμιλωτίς C ἡ μηλωτής A ἡ μυλωτής B 14 οὔ πώποτέ φ: correxi τὰ κρήγυα Bentley ἔειπας B 17 αἱμασίας AB δένδρα B

Digitized by Google

καὶ πάλιν·

ἐν δ' ἡμέας πρώτους λέγε κήτεσιν.

λιμῶδές τι ἔχῃ αὐτόν· ἀντὶ τοῦ μεγάλη τροφῆς ἀπορία.

λαπάσσουσαι· μαλάττουσαι. κενοῦσαι. εἰκὸς δὲ ἀπὸ τοῦ λαπάθου εἰρῆσθαι τὴν λέξιν, ὅπερ ἐστὶ τῆς κοιλίας μαλακτικόν. 5

λαπάρην· τὴν πλευράν.

Λιβύῃ, Δήλῳ, Σκυθίῃ· νῦν Ἱπποκράτης ἠθέλησε τὰ τρία κλίματα τῆς οἰκουμένης δηλῶσαι, Λιβύην μὲν ἄντικρυς εἰπών, τὴν δὲ Ἀσίαν διὰ τῆς Δήλου, τὴν Εὐρώπην δὲ διὰ τῆς Σκυθίας.

λύγγος· λυγμός. 10

λαπῶδες· Βακχεῖος ἐν β̄ φησὶ τὸ λαμπρὸν καὶ καθαρόν, διὰ τοῦ μ γράφων τὴν πρώτην συλλαβήν, ἵν' ᾖ λαμπῶδες, οὐ δεόντως ἱστάμενος. λάμπη γὰρ λέγεται τὸ ἐφιστάμενον ἐν τῷ ὄξει τῆς δεδολωμένης οἴνης, ἔτι δὲ κολυμβάσιν ἐλάαις οἷόν τι λίπος κολλῶδες. ἔνθεν οὖν λαμπώδη ῥητέον τὰ ἔχοντά τινα ἐφιστάμενα ὅμοια λαμπῇ. 15

TESTIMONIA 2 δ 452 3 Prognost. 2 t. II 114 L 4 l. s. 8 t. II 130 L 6 cf. Heringa obs. crit. p. 8 Foes p. 375 7 Prognost. 25 t. II 190 L 10 Prorrhet. I 23 t. V 516 L 11 l. l. I 92 t. V 534 L: cf. coac. praenot. II 4, 182

ADNOTATIO 2 κήτεσινς κήτεσι B κήτεσσι AC 3 λιμῶδές τι ἔχῃ ex Hippocr. l. c. em. Franz λιμῶ δέ τι φz ἔχει (ἴσχει antea fuit in B) φ ἴσχει z λιμῶ δ' ἐπέχει coni. MSchmidt aus wiener hands. p. 11 μεγάλης AB 5 ὅπερ ἐστι B ὅ πέρ ἐστι C κοιλίης B 9 ἀσίην A 10 λύγξ iussit Schleusner l. c. I 274: equidem uereor qui mutat, ne Erotianum aut qui eum excerpsit corrigat. λύγμος B 11 β̄ᾱ A 12 τοῦ μ: cf. Struuii opusc. sel. uol. II p. 163 ἵν ᾱ" C 13 λάμπη: Hesych. III 10 Phot. p. 206, 13 τῆς δεδολωμένης οἴνης ἐν τῷ ὄξει φ: transposui 14 τοῖς δεδολωμένοις οἴνοις coni. Lobeck rhemat. p. 271 conl. schol. Eurip. Orest. u. 115 κολυμβάσιν: cf. Dioscor. I 140 Jul. Africanus cest. 28 p. 200 a ἔτι .... ολυμβάσιν B *ολυμβάσιν A ἐλαίαις B οἷον τὶ B 15 λαμπάδη C τὸν ἔχοντα C ἔχοντα τινὰ B 16 λαμπῆ* (corr. ex λαμπτῇ) A λαμπτῇ BC de accentu non constat: cf. Arcad. p. 113, 6 Lobeck proleg. p. 92 Goettling uom accent p. 160

Digitized by Google

λαιλαπώδης· λαίλαψ λέγεται ὄμβρος μετὰ σφοδροῦ ἀνέμου γινόμενος.

λόποι· λεπίσματα παρὰ τὸ λέπεσθαι εἰρημένα.

λείως· τελείως.

5 λαπαρά· ἁπαλά.

λοχεῖα· κάθαρσις ἡ μετὰ τὸν τόκον γινομένη.

λειμακέστεροι· λειμακώδεις. [λείμακες] λέγονται οἱ λιμνώδεις καὶ κατάφυτοι καὶ ὁμαλοὶ τόποι.

λιβρῷ· σκοτεινῷ καὶ μέλανι.

10 λείβονται· σπένδονται.

λάπτει· Βακχεῖος γράφει λάζεται. ἔστι δὲ λαμβάνει.

λέμμα· ἡ ἐπιδερματὶς καλουμένη.

λόπῳ· φλοιῷ, λεπίσματι.

λελυγισμένα· συνεστραμμένα. Ἐπικλῆς δὲ ἐπιπεπλεγμένα. ἔστι

15 δὲ μᾶλλον, ὥς φησι Βακχεῖος, συγκεκαμμένα. πεποίηται δὲ ἡ λέξις ἀπὸ τῶν λύγων, ἅπερ ἐστὶν εὔκαμπτα φυτά.

TESTIMONIA 1 Epid. I 2, 4 t. II 616 L 3 Epid. II 1, 7 t. V 78 L 5 cf. Foes p. 375 6 De morbis mulierum saepius: locos congesserunt Eustachius et Foes p. 389 7 De aere aquis 13 t. II 58 L 9 uaria lectio esse uidetur apud Hippocr. l. s. 15 t. II 62 L: ibi *διερῷ* legitur, quod tuetur Heringa p. 50 11 ad Hippocr. de corde 1 t. VIIII 80 L refert Foes p. 376: dubitationem commouet Littré uol. I p. 137 13 Mochlic. 2 t. IIII 346 L 14 l. l. 4 p. 348 L

ADNOTATIO 1 λαιλαπώσης B γενόμενος C 3 'λέπη *quidam*' teste Foesio p. 380 λέπια Foes conl. coac. praenot. II 24, 458 4 λείως scripsi λίως φ est etiam altera forma λέως: cf. Galen. p. 514 Apoll. de pronom. p. 334 5 λαπαρά scripsi λάπαρα φ ἁπαλά] καθαρά d 6 λοχείη φ: emendaui λοχίη Foes 7 Suidas uol. II col. 551 Phauorinus λειμακέστεροι Foes p. 385, qui postea (not. ad Hippocr. l. l. p. 331) λειμακεστέροις· λιμακώδεσι coniecit λιμακέστεροι φ λειμακωδέστεροι Schneider probante Lobeckio paralip. p. 288 λιμακώδεις φ λείμακες addidi καὶ λειμακώδεις λέγονται κτέ. coni. Schleusner l. c. I 274 9 Hesych. III 37 Phot. p. 222, 15 11 Hesych. III 13 λαίπτει A λάμπτει C ἔστι δὲ λαμβάνει om. C 12 cf. Plat. Tim. p. 76 a Phot. πε p. 214, 11 Phauorin. 14 cf. Phauorin. ἐπιπλεγμένα B ἐπιπλεγμένα C 15 ὡς φησὶ B συγκεκαμένα B 16 λυγῶν BCz εὔκαμπτου C

Digitized by Google

λωτοῦ ἰχθυήματα· ἀντὶ τοῦ ῥινίσματα ἢ πρίσματα.

λορδότατον· τὸ ἀποσεσιμιωμένον καὶ ἐναντίον τῷ κυρτῷ λορδὸν καλεῖται, ὃ δὴ καὶ κυφὸν καλεῖ.

λάσιον· ὀθόνιον, ὡς Θεόπομπος ἐν Ὀδυσσεῖ. καὶ Ἀρτεμίδωρος ὁ γραμματικὸς ἐν ταῖς λέξεσί φησι λινοῦν ὕφος δασὺ εἶναι. 5

λεσχηνευομένου· ὁμιλοῦντος.

λύματα· καθάρματα.

λεβηρίδος· ὑμενώδους ἀποσύρματος, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαραῷ καὶ Στράττις ἐν Φοινίσσαις. Πολέμαρχος δὲ ὁ γραμματικὸς εὐηθέστερόν 10 φησι δυσανταγωνίστου καὶ λιμοποιοῦ ζώου μικροῦ ὄνομα εἶναι τὴν λεβηρίδα μικρῷ λαγῷ ὁμοίου· ὃ Ῥωμαῖοι μὲν κουνίκλουν καλοῦσι, Μασσαλιῶται δὲ λεβηρίδα.

TESTIMONIA 1 De ulceribus 13 t. VI 416 L 2 De artic. 41 t. IIII 178 L 4 Prorrhet. II 7 t. VIIII 24 L?: glossam ad Hippocr. de victu acut. append. 14 rettulit Littré t. II p. 472, plausit Ermerins ad Hippocr. uol. I p. 348 — Theopompus Odyss. fr. IIII uol. II 2 p. 806 Mein. 6 De morbis I 19 t. VI 174 L 7 De glandulis 12 t. VIII 564 L 8 De morbis mul. I 78 t. VIII 182 L 9 Aristoph. Amphiar. fr. XIII uol. II 2 p. 956 sq. — Strattis Phoeniss. fr. IIII uol. II 2 p. 782

ADNOTATIO 1 λώτου Az .ω τν' (λ non addita) C ῥινήματα uoluit Cobet 2 .ορδότατον C λορδώτατον A: '*quae omnia ex* λορδὸν τὸν *deprauata*' Angli thes. editores λορδὸν: cf. Galen. comm. in aphorism. t. XVIII A p. 74 K. Hesych. III 49 Phot. p. 230, 24 Suidas II c. 604 3 κυφὸν e Suida scripsimus Cobet et ego: φυτὸν φ ὑβὸν uoluit Foes 4 'λάσιον· σινδόνην.' Galen. p. 514 Ὀδυσσεῖ Meineke ὀδυσσεία AC ὀδυσεία B Ἀρτεμίδωρος: cf. Nauck Aristoph. Byz. fragm. p. 7 n. 11 5 λέξεσι φησὶ BC καὶ δασὺ B 6 .ευσχηνευομένου C 8 Galen. p. 514 Hesych. III 19 Phot. p. 211, 15 ὑμενώδη A ἀποσύρματος Foes p. 376 ἀποσύρματα φ 9 στράτης φz: em. ς 10 πολέμαχος B Τηλέμαχος Casaubonus ad Strab. III p. 144 Fabricius εὐηθέστερον φησὶ BC 11 δυσανταγωνίστου em. Stephanus δυσαναγωνιστοῦ C δυσαγωνιστοῦ AB δυσαγωνίσου z δυσοιωνιστοῦ ex Photio reposuerim cum Anglis thes. editoribus λιμοποιοῦ: non sanum puto ζώου: at uide Phot. p. 211, 16 12 λεβήριδα C λεπορίδα fuerunt qui coniecerent: cf. Eustath. ad Dionys. Perieg. 457 Varro de l. l. V 101 de re rust. III 12

Digitized by Google

λαμπηρόν· ὑγρόν.

λείριον· βοτάνης εἶδος, ἣν κρίνον ὀνομάζομεν. Νίγρος ἐν τῷ περὶ ὕλης φησὶ καὶ τὸν νάρκισσον παρ' ἐνίοις λείριον καλεῖσθαι.

Ἀρχὴ τοῦ μ

5 Μαρμαρυγαί· λαμπηδόνες πυκναί, καὶ οἷον ἀστραπαὶ πυκναί, αἰφνίδιοι, πυρώδεις, ὡς καὶ Ὅμηρος·

μαρμαρυγὰς θηεῖτο ποδῶν.

Μηριοχάνη· ὄνομα γυναικός.

μειοῦσιν· ἐλαττοῦσι.

10 μυτωτόν· οἱ μὲν Ἀττικοὶ ὑπότριμμά τι μετὰ σκορόδου γινόμενον λέγουσιν· Εὔπολις δ' ἐν Λάκωσι τὸν ἄμυλον λέγων φησί·

τὰ συκάρι' ἐποίησε μυτωτόν πολύν.

ἔνιοι δὲ πλακοῦντα διὰ λαχάνου συντεθέντα. οἱ δὲ τὸν λεγόμενον ζῦθον. ἡμεῖς μέντοι γε συγκατατιθέμεθα τοῖς λέγουσι μυτωτὸν

15 εἶναι τὸ διὰ σκορόδου τρίμμα. εἴρηται δὲ παρὰ τὸ μυσάττεσθαι τὴν δυσωδίαν, ὡς εἶναι μυσωτόν.

TESTIMONIA 5 Epid. VII 45 t. V 412 L 6 Φ 265 8 uaria lectio est apud Hippocr. l. l. II 1,12 t. V 82 L 9 l. l. II 1, 8 t. V 80 L 10 l. i. II 6, 28 t. V 138 L 11 Eupolis Lacon. fragm. uol. II 1 p. 498 Mein.

ADNOTATIO 1 λαμπηρόν scripsi λάππυρον φ λαπαρόν thes. t. V col. 83 2 Theophr. h. pl. VI 6 Dioscor. III 116 βοτάνων B κρίνον: cf. Galen. p. 516 Phryn. app. soph. p. 50, 17 ὀνομάζουσι C 3 τὸναρκίσσον (corr. ab eadem manu) A 5 καὶ om. z 6 αἰφνήδιοι C πυρώδεες Franz 7 πολλῶν C 'in exempl. Erotiani legitur θηεῖτο πυλῶν.' Stephanus 8 μηριαχάνη B Μυριοχαύνη Hippocr. μυοχάνη Galen. p. 528: probauit Eustachius μυσοχάνη Rosenbaum die lustseuche p. 227 μυσάχνη Naumann in Schmidtii jahrb. der ges. medicin XIII (1837) p. 101 sq. = handb. der klinik VII 88 ἡ Μύριος Χαύνη coni. Meineke monatsber. der berl. acad. der wiss. 1852 p. 579 10 Dioscor. II 141 Galen. p. 528 Hesych. III 133 μυττωτὸν (ter) φ: correxi ὑπότριμμάτι B γιγνόμενον B 11 λέγουσι AB εὔπωλις B Εὔβουλος coni. Meineke hist. crit. p. 115. 356 τὸ φ: corr. Meineke 12 συκάρια ς σκευάρια φ φυτάρι' ἐξεποίησε Lobeck pathol. p. 391 13 συντιθέντα C 14 ζῦθον Foes p. 422 ζῆθον φ λέγουσιν AB 15 σκόρδου C μυσάττησθαι B 16 μυσσωτόν φ: correxi

Digitized by Google

μεγαλόσπλαγχνον· τὸν διὰ φλεγμονὴν ἐν ἐπάρσει τὰ σπλάγχνα ἔχοντα.

Μοδοσαέως· ὄνομα τόπου.

μεθίησιν· Ἐπικλῆς μέν φησιν ἐμπίπτει· ἔστι δὲ μᾶλλον ἀφίησι.

μεμιασμένον· λοιμῶδες γεγονός. 5

μᾶσσον· Βακχεῖος μέν φησιν ἔλασσον, Ἡρακλείδης δ' ὁ Ταραντῖνος πλεῖον.

μεῖον· ἔλαττον.

μάζα· φύραμα ἐξ ἀλφίτου γινόμενον, ποτὲ μὲν μετ' ὀξυμέλιτος, ποτὲ δὲ μετ' ὀξυκράτου ἢ ὑδρομέλιτος ἢ μεθ' ὕδατος. ἔστι δὲ 10 τρόφιμον.

μανδραγόρου ῥίζαν· περιφραστικῶς τὸν μανδραγόραν.

ματεῖσθαι· ζητεῖσθαι. καὶ μάτος ἡ ζήτησις λέγεται.

μωμητέον· μεμπτέον. καὶ μῶμος ἡ μέμψις.

μεμινυθήκασι· κατισχνάνθησαν. 15

μεμαθήκασι· εἰώθασι. καὶ γὰρ ἡ μάθησις ἔθους ἐστὶν ἄσκησις.

μεσεγγύ· ἐν μέσῳ.

TESTIMONIA 1 cf. epid. III 3 aegr. 13 3 l. c. IIII 45 t. V 186 L 4 De nat. inf. 12 t. VII 486 L 5 De flatibus 5 t. VI 96 L? 8 De uet. med. 8 t. I 586 L indice Littréo 9 glossam ad l. l. 8 rettulit Littré p. 588, sed cf. Eustach. h. l. et Foes p. 393 12 De locis in hom. 39 t. VI 328 L 15 Mochlic. 5 t. IIII 348 L 16 *π. διαίτ. ὀξέων* append. 8 t. II 430 L 17 gl. ad l. l. 7 t. II 276 L rettulit Ermerins t. I p. 302: sed Hippocrates tantum *μεσηγύ* scripsit.

ADNOTATIO 3 nomen corruptum *Μηδοσάδεω* Hippocr.: cf. Galen. p. 498 Meineke l. c. p. 587 4 *μὲν φησὶν* B 5 Galen. p. 522 *μεμιωμένον* d 6 Galen. p. 520 Hesych. III 74 *μάσσον* C: de accentu cf. Herodian. *π. μον. λέξ.* p. 37, 10 Draco p. 52, 24 *μὲν φησὶν* B *Ἡρακλείων* Foes 9 *μάζα* A: cf. Draco p. 72, 100 *ἀλφίτων* ς Phauorinus *πινόμενον* post *γινόμενον* addit φ: seclusi *μετ' ὀξὺ μέλιτος* B 10 *ὀξυκράτου* ς *ὀξυκράτους* φ *ἔστι δὲ τρόφιμον* om. Phauorinus 12 Theophr. h. pl. VI 2, 9 Dioscor. IIII 7, 6 *μανδραγούρου* C *τὴν* C 13 Galen. p. 520 15 *μεμινυθήκασιν* C *κατισχεάνθησαν* A *κατισχιάνθησαν* B 16 *μεμαθήκασι· εἰώθασι* z *εἰώθασι* (*ἰώθασι* C)· *μεμαθήκασι* φ 17 *μεσεγγύ* ς *μέσεγγυ* C *μέσσεγγυ* AB

Digitized by Google

μετεξέτεροι· Βακχεῖος ἐν τρίτῃ φησὶν ἕτεροι. ἔστι δὲ μᾶλλον ἔνιοι, ὡς καὶ Ἡρόδοτος ἐν β̄ φησί· τὰς ζειὰς μετεξέτεροι καλέουσι.

μελέτη· ἐνέργεια.

5 *μελεδώνας· θεραπείας.*

μετάρσιον· ὑψηλόν.

μύρον αἰγύπτιον· οἱ μὲν ἐδέξαντο τὸ λεγόμενον ἀπὸ σκάφης· ἔστι γὰρ θερμαντικόν. οἱ δὲ τὸ μαλαβάθρινον· οἱ δὲ τὸ μενδήσιον. καὶ γὰρ ἐν β̄ γυναικείων τὸ αὐτό φησιν ἔλαιον αἰγύπτιον.

10 *μώλυζα· σκορόδου κεφαλὴ βωλοειδὴς καὶ μὴ διαλελυμένη εἰς ἄγλιθας.*

μαρίλην· οἱ φρυγανώδεις καὶ μικροὶ ἄνθρακες οὕτως ὑπό τινων καλοῦνται· μᾶλλον δὲ ἡ θερμοσποδιὰ μαρίλη λέγεται, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀχαρνεῦσί φησιν·

15 *ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συγχὴν*
ὁ λάρκος ἐνετίλησεν ὥσπερ σήπια.

καὶ Ἱππώναξ φησί·

πολλὴν μαρίλην ἀνθράκων.

TESTIMONIA 1 crebro 2 Herodot. II 36 5 cf. adnot. 7 De morb. mul. saepe, e. g. II 133 t. VIII 294 L 9 l. l. identidem, ueluti II 206 p. 398 L 10 l. i. II 205 p. 396 L 12 l. l. II 133 p. 284 L 14 Aristoph. Acharn. u. 350 17 Hipponax fr. 71 p. 605 Bgk

---

ADNOTATIO 1 γ̄ B 2 ζηᾶσ B *μετεξ-έτεροι* A *μεταξὺ ἕτεροι* B *μετεξὴ ἕτεροι* z 4 cf. Foes p. 405 5 *μελεδώνης* C: fortasse recte, ita ut glossa referatur ad Hippocr. de morb. mul. I 36 6 *ὑψιλόν* C 7 Galen. p. 414 Ath. II p. 66 d XV p. 689 b *μῦρον φ*: em. ς 8 *μελαβάθρινον* ς *μαλοβάθρινον* Stephanus conl. Plin. n. h. XII 26, 129 *μενδήσιον*: Galen. l. c. Plinius n. h. XIII 1, 4 9 *αὐτὸ φησὶν* BC 10 Galen. p. 530 Psellus de gramm. u. 435 *λεξ. Ἰατρ.* I 241 Lobeck proleg. p. 361 *μώλυζα* Foes p. 423 *μῶλυξ* AC *μώλυξ* B *μονοειδὴς* coni. Gesner 11 *ἄγλιθας* Foes *αἴγλιθας* AB *αἴγιθλας* C 12 Galen. p. 518 Gregor. Cor. p. 557 *μαρίλην* em. Foes. p. 398 *μαριλίνοι* A *μαρίλινοι* B *μαριλῖνοι* C *μαριλλίνοι* z 13 *μαρίλους* B 15 *μαρίλης* (ι corr. ex ο) B *μοι συχνὴν* z *ἁλοσύχνην* A *ἁλοσύχνην* BC 16 *ὁ λάρκος* ςz *ὁλάκιος* AC *ἑλάκιος* B *ὥσπερ* om. C 18 *μαρίλλην* C

Digitized by Google

* *μαράσσει· ψοφεῖ.*

μήλην· οὕτω καλεῖ τὴν μηλωτίδα. ἣν γὰρ ἡμεῖς μήλην καλοῦμεν, αὐτὸς ὑπάλειπτρον καλεῖ.

μελενδανθέων· μεριμνῶν. θεραπεῦν. μελεδαίνειν γὰρ λέγεται τὸ μεριμνᾶν καὶ θεραπεύειν. 5

μνῶται· κινεῖται ἢ κτείνεται. καὶ γὰρ οὕτως εὕρομεν γεγραμμένην τὴν λέξιν.

Ἀρχὴ τοῦ ν

Νείαιρα· γαστήρ. Βακχεῖός φησι τὸ κῶλον, ὅ τινες κάτω κοιλίαν προσαγορεύουσι. 10

νεφέλαι· τὰ ἐφιστάμενα τοῖς διαχωρήμασιν ὑπολίπαρα ὁτὲ μὲν ὠχρά, ὁτὲ δὲ ξανθὰ ἤ πως ἄλλως κεχρωσμένα. μεταφορικῶς ἀπὸ τῶν ἐν οὐρανῷ νεφελῶν κληθεῖσαι.

ναρκώδεις· οἱ ἀπεσκληρυμμένοι καὶ ἀναισθητοῦντες. εἴρηται δὲ ἀπὸ τῆς παθητικῆς γιγνομένης νάρκης. 15

TESTIMONIA 1 glossa pertinet ad Hippocr. de morbis mul. II 154 t. VIII 328 L: cf. Eustach. ad h. l. et Foes p. 412 sq. 3 *ὑπάλειπτρον*: De morb. mul. II 163 t. VIII 342 L 9 gl. ad prognost. 11 t. II 134 L rettulit Heringa p. 8, ubi *ἡ κάτω κοιλίη* legitur 14 gl. ad prorrhet. I 139 t. V 560 L rettulit Foes p. 424

ADNOTATIO 1 *σμαραγεῖ* uera lectio est, ab Heringa p. 112 inuestigata 2 Galen. p. 524 Paulus Aeg. VI 25 3 *ὑπάλειπτρον* Foes p. 635 *ὑπάλιπτον φ* 4 Greg. Cor. p. 558 Phauorinus *μελενδανθέων* non expedio *μελεδωνέων* Schleusner l. c. I p. 274 n. 12 *μελεδώνων ἀντὶ τοῦ μεριμνῶν* uel *μελεδαίνων· μεριμνῶν, θεραπεύων* coni. Koen ad Greg. Cor. p. 264 6 non intellego 9 *νείαρα* C *Βακχεῖος φησὶ* BC *τινὲς* B *κάτω κοιλίαν*: Rufus Ephes. p. 38 Clinch Pollux II 209 11 gl. non de *διαχωρήμασι* sed de *οὔροις* apud Hippocr. legitur: cf. prognost. c. 12 Galen. comm. 1 in epid. 3 t. XVII A p. 493 K. Foes p. 429 *ὅτε–ὅτε* (utrumque in B fuit *ὅτι*) AB 12 *ἢ πῶς* BC 13 *οὐρανῶν* C *κληθεῖσαι* scripsi *κινηθείς φ κινηθεισῶν z* 14 *ἀποσκληρυμένοι φ*: em. *ς* *ἀπεσκληρωμένοι* Angli thes. editores 15 *γινομένης* B

Digitized by Google

νίωπον· τὸ ἐκ καρύων πικρῶν ἔλαιον, καθὼς καὶ Πετρώνιος ἐν ὑλικοῖς. καὶ Διόδοτος ἐν β̄ μυρολογιῶν φησίν·

ἔνιοι μὲν οὖν νίωπον ἐπιμελέστατα
ποιοῦσιν οὕτως· χοίνικας καρύων τέσσαρας
5 *πικρῶν λαβόντες ἀττικὰς . . . .*
θλῶσίν τε καὶ ξαίνουσι τὰν μέσῳ καλῶς
διαδιδόασί τ' εἰς ὅλμον καὶ κόπτουσιν.
δύναμιν δ' ἔχει τὸ νίωπον τήνδε . . .

ὀνομάζεται δὲ [οὕτω] τὸ τῶν πικρῶν ἀμυγδάλων ἔλαιον.

10 *ναρκῶσαι· πραῦναι καὶ οἰονεὶ εἰς ἀναισθησίαν ἀγαγεῖν τῆς ἀλγηδόνος.*

νυκτοειδές· ἀντὶ τοῦ μέλαν.

νεύρου ἐναίμου· ἀντὶ τοῦ τῆς φλεβός.

νόμον· τὸν λόγον. ἢ τὴν νέμεσιν. ἢ τὸ ἦθος.

15 *νηδύν· οὕτω καλεῖ πᾶσαν κοιλότητα λέγων· ὁκόσα γὰρ τῶν μελέων ἔχει σάρκα περιφερῆ, ἣν μὺν καλέουσι, πάντα νηδὺν ἔχει. πᾶν γὰρ τὸ ξύμφυτον, ἤν τε δέρματι ἤν τε σαρκὶ καλύπτηται, κοῖλόν ἐστι.*

TESTIMONIA 1 *νέτωπον* uel *μετώπιον* legitur apud Hippocr., cuius locos conlegit Foes p. 426 10 Epid. VI 2, 1 t. V 276 L 12 De aere, aquis 8 t. II 34 L 13 uide adnot. 14 cf. Foes p. 432 15 De arte 10 t. VI 16 L

ADNOTATIO 1 *νέτωπον* Foes p. 426 et Nauck philol. V 463: at *νεόρυπ* codd. Mad² Plinii n. h. XV 7, 26 *πικρὸν* B 2 *ὑλικοῖς* C *διόδωρος* d *μυρολογιῶν* tentaui *μυροπωλῶν* uel *μυροπωλιῶν* coni. MSchmidt ad Hesych. III 151 *ἀνθολογουμένων* uoluit Nauck l. c. conl. Plin. n. h. XX 8, 77 *μυθολογιῶν φ* 3 Diodotum uersibus iambicis scripsisse obseruauit Nauck, unde eos restitui *νέωπον* Charterius 4 *Δ'* AB *Δ'* C *πικρῶν τέσσαρας ς* 5 post *ἀττικὰς* duo pedes desunt 6 *θλῶσίν* Nauck *θλῶσί* AC *θλῶσι* B *ξαίνουσι* Nauck *ξηραίνουσι φ* *ταὶν* Nauck *τὰ ἐν φ* 7 *τ'* scripsi *τε φ* *ὅλμον* A *κόπτουσι* AC 8 *δὲ φ*: correxi 9 *ὀνομάζεται* scripsi *ὄνομα φ* *οὕτω* om. *φ*: addidi 10 *πραύναι* BC 13 *νεύρῳ ἐναίμῳ* uoluit Foes p. 428 conl. Hippocr. de usu liquid. 2: at cf. Ermerins ad Hippocr. t. II p. 113 15 *νηδὴν* z *πᾶσα* C *ὅσα* Hippocr. *νελέων* C 16 *νηδὴν* z 17 *ἀσύμφυτον* Hippocr. 18 *κοῖλον ἐστὶ* B

Digitized by Google

νόμος δίκαιος· λόγος συμφέρων.
νεοχμόν· νεώτατον. ὡς καὶ Ἀλκμὰν ἐν ᾱ μελῶν.

Ἀρχὴ τοῦ ξ

Ξυντεκμαίρεσθαι· συσσημειοῦσθαι. τέκμαρ γὰρ καὶ τεκμήριον ἰδίως τὸ σημεῖον λέγεται. 5
ξυσμῷ· κνησμῷ. φησὶ γὰρ οὕτως Ἱπποκράτης· ὑποβὰς γὰρ ἐς Μῆλον ἐς θερμὰ λοετρὰ τοῦ μὲν κνησμοῦ ἐπαύσατο καὶ τῆς παχυδερμίης. κεῖται ὁ ξυσμὸς καὶ ἐν ἀφορισμοῖς.
ξυνιέναι· συνεπινοεῖν. κεῖται καὶ ἐν τῷ περὶ πτισάνης.
ξενοπρεπές· ἐξηλλαγμένον. ἔστι δὲ τοῦ περὶ ἀγμῶν. 10
ξύντασις ὑπολάπαρος· ἀντὶ τοῦ ὑφάπαλος καὶ χωρὶς βίας.

Ἀρχὴ τοῦ ο

Ὀρφνῶδες· σκοτεινόν. ὄρφνη γὰρ λέγεται ἡ σκοτία.
ὀγκυλλομένη· ὀγκύλλεσθαι μὲν Ἀττικοὶ λέγουσι τὸ μέγα καὶ ἐπηρμένον φρονεῖν. ὁ δ' Ἱπποκράτης ὀγκυλλομένην λέγει κοιλίαν 15
τὴν ταχέως εἰς ὄγκον αἰρομένην.

TESTIMONIA 1 De fract. 7 t. III 442 L 2 De morb. mul. II 133 t. VIII 298 L — Alcman fr. 1 p. 633 Bergk 4 Prognost. 2 t. II 114 L 6 Epid. V 9 t. V 208 L 8 Aphorism. III 31 t. IIII 500 L 9 glossae sedes apud Hippocr. *π. διαιτ. ὀξέων* me fugit 10 De fract. 1 t. III 414 L 11 Epid. I 3 aegr. 2 t. II 686 L; l. l. III 1 aegr. 3 t. III 40 L 13 Prognost. 24 t. II 182 L 15 Prorrhet. I 99 t. V 538 L

ADNOTATIO 2 $\overline{\alpha^{\eta}}$ AB *μέλων* C (?) 4 *ξυντεκμαίρομαι* B 6 *ὑποβὰν* C *διελθὼν δὲ* Hippocr. 7 *ἢ τὰ θερμὰ* Hippocr. *ξυσμοῦ* uolebat Eustachius 8 *παχυδερμίης* ex Hippocr. scripsi *παχυδερμίας φ* *ὀξυσμός* C *ὁ ξυσμὸς* om. Charterius 9 *συνεπισκοπεῖν κεῖται* C *πτισάνης* z *πτισσάνης φ* 13 *ὀρφνὴ* C *ὀρφὴ* B *σκο*^{τ} B 14 *ὀγκυλλομένη* Foes p. 442 *ὀγκυλωμένη φ* *ὀγκύλλεσθαι* Charterius Cobet mnemos. VIII 44 *ὀγκύλεσθαι* Az *ὀγκυλέσθαι* BC *μέγαν* B 15 *δὲ* C *ὀγκυλλομένην* Foes *ὀγκυλωμένην φ*

Digitized by Google

ὀξυρεγμίην· τὴν τοῖς ἀπεπτοῦσι παρακολουθοῦσαν ἐποξίζουσαν ἐρυγήν.

ὁμαλῶς· ὁμοίως. ἔστι δὲ τοῦ δ̄ ἐπιδημιῶν ἡ λέξις.

οὖρα αἱμαλώδεα· ἐν ἐνίοις ἀντιγράφοις εὕρομεν οὖρα αἱματώδεα, ἐν δὲ τοῖς πλείστοις αἱμαλώδεα, ὃ καὶ αὐτὸ ἐν ἴσῳ κεῖται τῷ αἱματώδεα. εἴρηται γὰρ παρὰ τὸν αἱμάλωπα, ὅ ἐστι συγγραφὴ ὕφαιμος ὡς ἐπίπαν ἐκ πληγῆς περὶ τὸν κερατοειδῆ χιτῶνα γινομένη.

Οἰνειάδαι· πόλις Αἰτωλίας, κειμένη παρὰ ταῖς Ἀχελώου τοῦ ποταμοῦ πηγαῖς.

οὐρεύς· ὁ ἡμίονος, ὡς καὶ Ὅμηρος·

οὐρῆας μὲν πρῶτον ἐπώχετο.

ὄμματα ἐνδεδινημένα· Ἐπικλῆς τὸ ἐνδεδινημένον ἐπὶ τοῦ ἐσκοτωμένου καὶ τὴν κεφαλὴν ἀλγοῦντος τάσσει, οὐ νοήσας. ὁ γὰρ Ἱπποκράτης οὐκ ἐπ' ἀνθρώπου καθόλου τέταχε τὴν λέξιν. ἐν γὰρ ϛ̄ ἐπιδημιῶν φανερὸν ποιεῖ, ἰδίως ἐπὶ μέρους ὀφθαλμοῦ τάττων αὐτήν. πῶς οὖν καλῶς ἄν τις τὰ ἐνδεδινημένα ἀντὶ τοῦ ἐξεστραμμένα παραλάβοι; πεποίηται γὰρ παρὰ τὴν δίνησιν, ἥτις ἐστὶ κυκλοτερὴς περιστροφή.

ὀργήσασθαι· τὸ ὁρμὴν ἔχειν πρός τι. καὶ ὀργᾶν ..... τὴν

TESTIMONIA 1 π. διαίτης II 54 t. VI 558 L 3 De morbis I 8 t. VI 156 L — in epid. libro quarto uox non extat 4 De morbis III 6 t. VII 124 L 8 Epid. V 3 t. V 204 L 10 *A* 50 12 Epid. VII 30 t. V 400 L 15 l. l. VI 1, 13 t. V 274 L 19 l. c. VI 2, 1 t. V 276 L, ubi ἐργάσασθαι editur: cf. Galen. comm. in h. l. t. IX p. 397 Chart.

ADNOTATIO 1 Galen. comm. in aphorism. t. XVIII A p. 4 K. παρακολουθούσης C 4 οὖρα z οὖρα B οὖρει AC αἱμαλώδεα z αἱμαλῶδες φ οὖρα scripsi οὐρέα B οὖρεα z οὐρέει AC αἱματώδεα scripsi αἱματῶδες φ αἱματώδη z 5 αἱμαλώδεα correxi αἱμαλῶδες φ αἱμαλώδη z 6 αἱματώδεα scripsi αἱματώδει φ αἱματώδη z 8 Οἰνειάδαι em. Foes p. 446 οἰνεάδα φ Phauorinus Αἰτωλίας: immo Ἀκαρνανίας τοῖς C 9 πηγαῖς: immo ἐκβολαῖς 12 ἐπιδεδινημένα ABz ἐπικλῆς B ἐπικλῆς | ἐ. C ἐπιδεδινημένον z 19 ὀργήσασθαι z ὀργίσασθαι φ ὀργάσασθαι coni. Cobet mnemos. t. VIII p. 43 ὀργᾶν: cf. Theophr. caus. pl. III 6, 3 Virg. georg. II 324 post ὀργᾶν lacunae signum posui, quam Cobet l. l. sic explendam coniecit: ὥσπερ εἰώθαμεν λέγειν ὀργᾶν.

Digitized by Google

γῆν πρὸς τὴν ἐκβολὴν τοῦ καρποῦ. ὀργίσασθαι οὖν εἶπε τὸ εἰς παράστασιν ἀγαγεῖν τὰ ὑγρὰ καὶ πρὸς ἔκκρισιν ἑτοιμάζειν.

οἰκείης· δούλης, οἱ δὲ ἰδίας. κεῖται καὶ ἐν τῷ περὶ φύσεως παιδίου ἡ λέξις.

ὁμιλίη· σημαίνει τρία. ἐνθάδε μὲν τὴν τῶν ἀνθρώπων ἀναστροφήν, παρὰ τὸ ὁμοῦ εἰλεῖσθαι· ἐν δὲ τῷ περὶ ἄρθρων ἁπλῶς τὴν παράθεσιν καὶ γειτνίασιν, ὅτε φησίν· ὁμιλέει δὲ [ὁ] βραχίων τῇ κοτύλῃ τῆς ὠμοπλάτης. τὴν δὲ τριβήν, ὅτε φησί· ταύτην τὴν τέχνην οὐ μόνον λόγῳ ἀσκεῖν χρή, ἀλλὰ καὶ ὁμιλίῃ. ἔστι δὲ τοῦ περὶ ὡρῶν καὶ τόπων.

ὁλκάδες· τὰ φορτηγὰ πλοιάρια.

ὀδύνας ναρκοῖ· ἀντὶ τοῦ μειοῖ. ἐπειδὴ ἡ νάρκη θλῖψις αἰσθήσεώς ἐστιν.

ὀτίδος· ὀρνέου εἶδός ἐστιν, ὅ τινες ὠτίδα καλοῦσιν.

ὄϊος στόμαχον· γοῦλαν προβάτου. ὄϊς γὰρ τὸ πρόβατον. κοινῶς δὲ τοῦ ἀνθρώπου.

TESTIMONIA 3 De nat. inf. 13 t. VII 490 L, ubi ueram lectionem *οἰκέτις* inuenit Foes p. 446, *οἰκέτης* legit Galenus 5 *ἐνθάδε*: de aere, aquis 14 t. II 60 L, ubi uariam lectionem *ἀμέλειαν* Ermerins t. I p. 268 recepit; Eustachius et Foes p. 452 glossam ad Hippocr. de medico 1 t. VIIII 206 L rettulerunt: sed cf. Littré t. I p. 412 sq. 6 De artic. 1 t. IIII 80 L 8 l. l. 10 t. IIII 102 L? 10 *περὶ ὡρῶν καὶ τόπων*: locum non inueni 11 De flatibus 3 t. VI 94 L 12 De liquid. usu 6 t. VI 132 L 14 De morbo sacro 1 t. VI 356 L, ubi sic e codd. *θε* scribendum est

---

ADNOTATIO 1 *κάρπου* C *τῶν καρπῶν* z *ὀργάσασθαι* malim cum Cobeto *ὀργήσασθαι* z 2 post *παράστασιν* non nulla excidisse puto *ἑτοιμάζει* C 3 *βίας φ*: em. Foes *καὶ* om. C 5 *τοῦ ἀνθρώπου* Franz 6 *παρὰ τὸ ὁ. εἰλ.*: cf. Galen. in Hippocr. de artic. t. XVIII A p. 316 K. *ἐπ τὸ* A 7 *ὁ* om. *φ*: ex Hippocr. addidi 8 *τῷ κοίλῳ* Hippocr. *ὅταν* AB 9 *οὐκ ἀρκέει μοῦνον λόγῳ εἰδέναι τὴν τέχνην ταύτην ἀλλὰ καὶ ὁμιλίῃ ὁμιλέειν* Hippocr. *λόγον* C 10 *τόπου φ*: em. *ς* 12 *ὀδύνην* Hippocr. libri *θλίψις φ*: correxi *αἰσθήσεως ἐστὶν* BC 14 Galen. p. 536 *ὀτίδος* C *εἶδος ἐστὶν* B *τινὲς* B *καλοῦσι* AC 15 cf. Meursius gloss. graecobarb. s. u. *γοῦλα* opp. t. IV p. 278 *ὄϊος* z *στόμα* C *γοῦλαν ς γοῦλα φ γοῦλαν προβάτου* Graeculi sunt, nisi totam glossam ab interpolatore profectam esse adsumere malis *ὄϊς* z

Digitized by Google

ὅριον· τὸν περιορισμόν.
ὀγχέῃ· καὶ ὀγχέειν δὲ εὕρομεν. ἔστι δὲ τὸ φέρειν, ὡς Βακχεῖος.
ὄκλασις· ὀκλάσαι λέγεται τὸ ἐπὶ τὰς κνήμας καὶ τὰς πτέρνας κάμψαντα τὰ γόνατα καθίσαι.
5 ὀκνέειν· μὴ δύνασθαι. φησὶ γάρ· οὗτοι κατοκνέουσιν ὀρθοῦσθαι, ἀντὶ τοῦ οὐ δύνανται.
ὄνος· ὁ ἄξων. ἴσως διὰ τὸ κυκλικὸν τῆς κινήσεως.
ὀῤῥὸν πίσσης· τὸ ὑγρότατον τῆς πίσσης. ἐν δὲ ᾱ γυναικείων καὶ ἐν τῷ περὶ πτισάνης τὸν τοῦ γάλακτος ὀῤῥὸν ἀκουστέον, ὃς
10 ἐφίσταται τοῖς ἀποτυρουμένοις.
* ὠκνήθη· ηὐλαβήθη.
ὀῤῥωδέειν· ἀγωνιᾷν, φοβεῖσθαι.
οἶνος ἄνδριος· ὁ εὔτονος, ἢ ὁ ἀπὸ Ἄνδρου τῆς νήσου, ὡς λέσβιος ὁ ἀπὸ Λέσβου.
15 οὔλῳ ἐρέῳ· τῷ μαλακῷ.
ὀξυΐ· ὀσφύϊ.
ὀχλώδεα· ὀχληρά.
οἶδος· οἴδημα.
ὀνεύεσθαι· τείνειν.

TESTIMONIA 1 Epid. VI 6, 6 t. V 326 L, de off. med. 11 t. III 316 L? 2 Moeblic. 20 t. IIII 362 L indicante Heringa l. c. p. 105 3 l. l. 26 t. IIII 370 L 5 l. c. 20 t. IIII 360 L 7 De artic. 43 t. IIII 186 L? 8 De ulceribus 12 t. VI 416 L — De morb. mul. I 29 t. VIII 74 L 9 περὶ πτισάνης: de uictu acut. 1 t. II 226 L 12 De fract. 28 t. III 512 L 17 l. c. 11 t. III 454 L; 13 p. 460 L 18 crebro, uelut l. c. 25 t. III 498 L

ADNOTATIO 2 ὀγχέῃ scripsi: ὀγχη φ ὄγχειν z ὀχέῃ Heringa ὀγχέειν scripsi ὀχέειν Heringa ὀγχεύειν z ὀγχείην φ 3 Phauorinus Ruhnken ep. crit. p. 244 5 ὀκνέειν (corr. ex ὀκλέειν ab eadem manu) A ὀκνέας C οὗτοι BC 7 Galen. p. 534 8 ὑγρότερον C 9 πτισσάνης φ: correxi 10 ἀποτηρουμένοις AB 11 ὀκνήθη φ: emendaui 12 ὀρροδέειν B 13 cf. Erotian. p. 51, 8: confudit ἀνδρεῖος et ἄνδριος ἄνδρειος z ἄδρου A 15 cf. Buttmann lexil. I 187 16 ὀξυΐ: immo ἰξυΐ cf. Erotian. p. 79, 6 19 ὀνεύεσθαι scripsi n. rhein. mus. XVIII 475: cf. Galen. p. 534 Hesych. s. u. ἰνεύει t. II p. 360 οἰνεύεσθαι φ Phauorinus πίνειν Phauorinus

Digitized by Google

ὄπωπα· εἶδον.

οὐλομελίης· ὅλης φύσεως.

ὄκρις· τραχύτης· ἀλλ' οὐχ, ὥς φησι Βακχεῖος, γωνία.

ὅπλα· Βακχεῖός φησι τὰ στύππινα σχοινία, οὐκ εὖ. ἔστι γὰρ κοινῶς τὰ ἐν τῇ νηῒ διακρατοῦντα ὀρθὸν τὸν ἱστὸν σχοινία. 5

ὀχετούς· τὰς ἐκχύσεις τῶν ὑδάτων, ὡς καὶ Ὅμηρος·

ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου.

οὖλον ὀρόβιον· τὸ πυῤῥόν. οἱ δὲ τὴν ἰσομεγέθη ὀρόβῳ ἀκροχορδόνα.

οἶνον οἰνώδεα· οὐχ, ὥς τινες, τὸν ἁπαλὸν καὶ μόνην ἔμφασιν 10 οἴνου παρέχοντα, ἀλλὰ μᾶλλον τὸν αὐστηρὸν καὶ εὔτονον. φησὶ γάρ· γλυκὺν δὲ οἶνον καὶ οἰνώδεα καὶ λευκὸν καὶ μέλανα. ἀντιδιαστελλομένου δέ φησιν· ὁ μὲν γλυκὺς ἧσσόν ἐστιν καρηβαρικὸς τοῦ οἰνώδεος.

οἴνῳ σιραίῳ· τῷ ἕψήματι λεγομένῳ. 15

ὁλοφλυκτίδες· αἱ φλύκταιναι. οἱ δὲ ἐπινυκτίδες. οἱ δὲ δοθιῆνες. οἱ δὲ ἕξανθήματα ἰόνθοις ὅμοια.

TESTIMONIA 1 De artic. 1 t. IIII 78 L 2 l. l. 11 p. 108 L 3 l. d. 14 p. 118 L 4 l. c. 43 p. 186 L 6 l. l. 48 p. 216 L — Φ 257 11 De uictu acut. 14 t. II 332 L 15 De morb. mul. I 66 t. VIII 140 L 16 falsa lectio apud Hippocr. de morb. mul. II 206 t. VIII 400 L: uide adnot.

ADNOTATIO 1 εἶδον C εἰδώς Charterius 2 Hesych. III 238 οὐλομελείης AC ὅλης B 3 'ὄκρις· ἐξοχὴ προμήκης.' Galen. p. 532 Festus p. 181 Mueller ὀκρίς Stephanus οὐχ' ὥς B 4 ὅπλα B Βακχεῖος φησὶ BC στύπινα C 6 cf. Reinesius uar. lect. III 6 p. 440 7 δ' ὅταν φ: corr. ς καὶ ἀποκρήνης C 8 Buttmann lexil. II 271 ἰσομεγέθη B ἀκροχορδόνα em. Gesner ἀκροχορδόνην AB ἀκρο-
N
χορδα C 10 οἰνώδα AB 11 ἰσχυρὸν pro αὐστηρὸν coni. Foes p. 447 καὶ εὔτονον om. C 12 οἰνώδα AB 13 δὲ φησὶν B ἧσσόν ς ἥσσων φ 14 οἰνώδιος B 15 Galen. p. 560 Moeris Att. p. 340 Hesych. IIII 33 Psellus λεξ. ἰατρ. I 239 16 Galen. p. 534 Hesych. III 199 Photius p. 330, 2: glossam corruptam ex δι' ὅλου φλυκτίδες natam esse uidit Ermerins ad Hippocr. t. II p. 791 ὁλοφλυκτίδες scripsi ὁλοφλύκτιδες A ὁλοφλύκτιδες BC ὁλοφλυκτίδες z φλυκταῖναι B περινυκτίδες φ: em. Foes δοθιῆνες ς δοδιῆες A δοθιῆδες C δοθιῆθες B οἱ δὲ δοθιῆνες om. z 17 ἰόνδοις C ζωϋφίοις ς

Digitized by Google

οὐλάς· κριθάς.

οὐ παιδοκτίσει· οὐ παιδοποιήσει. κτίσαι γὰρ τὸ ποιῆσαι.

οἰναρίδες· τὰ κλήματα τῶν ἀμπέλων οὕτως Ἀττικοὶ καλοῦσιν. οἴναρα δὲ τὰ τῆς ἀμπέλου φύλλα.

5 οἰσύπη αἰγός· οἰσύπη κυρίως λέγεται τὸ διαχώρημα τοῦ προβάτου· καὶ γὰρ ὄϊς τὸ πρόβατον. πλὴν αὐτὸς καταχρηστικῶς οἰσύπην ἐκάλεσε καὶ τὸ τῆς αἰγὸς διαχώρημα. διὰ τοῦτο καὶ οἰσυπηρὰ ἔρια τὰ μετέχοντα τῆς οἰσύπης ἢ τοῦ οἰσύπου. ἑκατέρως γὰρ λέγεται.

10 οἱ πικρόχολοι τὰ ἄνω· ἀντὶ τοῦ οἱ καχέκται, διὰ τοῦτο ὀξεῖς καὶ εὐκάνητοι. οἱ γὰρ χολῶδες ἔχοντες τὸ παρακείμενον βλάπτονται ὑπὸ τῆς ἀσιτίας τὸν στόμαχον.

οἰνάδος· τῆς βρυωνίας καλουμένης. ἔστι δὲ ἀγρίας ἀμπέλου εἶδος.

οἶνος ἀνθοσμίας· ὁ εὐώδης καὶ ἡδύς, ὡς Ἀριστοφάνης ἐν

15 Βατράχοις καὶ ἐν Θεσμοφοριαζούσαις.

ὄργια· μυστήρια.

Ἀρχὴ τοῦ π

Προπετής· προπίπτων. καὶ αὕτη ἡ λέξις μεταφορικῶς εἴρηται· καὶ γὰρ ἐν τῷ βίῳ προπετεῖς ἀνθρώπους λέγομεν τοὺς μὴ

TESTIMONIA 3 De morb. mul. II 195 t. VIII 378 L 8 οἰσυπηρὰ ἔρια hodie in Hippocrate non leguntur, sed οἰσυπώδεα et οἰσυποῦντα: cf. de ulceribus 12 et 24 10 π. διαίτ. ὀξέων 9 t. II 296 L 14 De mul. steril. 10 t. VIII 430 L — Aristoph. ran. u. 1150 15 Aristoph. Thesmoph. alt. fr. II uol. II 2 p. 1076 Mein.: cf. fragm. inc. CVIII p. 1202 16 πρεσβευτ. t. VIIII 420 L 18 Prognost. 3 t. II 118 L

ADNOTATIO 2 'παιδοκτίσαι· παιδοποιῆσαι. κτίσαι γὰρ τὸ ποιῆσαι.' Phauorinus 3 Galen. p. 532 Hesych. III 187 οἰνάριδες B 5 Greg. Cor. p. 543 διαχώρισμα coni. Schaefer ad Greg. Cor. l. c.

7 ἐκάλεσεν B 10 ὀξύς C 12 τοῦ στομάχου C 13 'aliqui codices habent οἰνάδος.' Eustachius, unde sic scripsi οἰάδος C οἴαδος AB ἀμπέλου ἀγρίας C 14 Galen. p. 434 Phryn. app. soph.! p. 22,9! Bekkeri aneed. gr, p. 403,18 Hesych, I 203 ὁ om. B 18 προπετής z προπέτης φ

Digitized by Google

κατέχοντας ἑαυτῶν, ἀλλ' οἷον πρὸ καιροῦ προσπίπτοντας ταῖς πράξεσι.

πνεῦμα· νῦν ἡ ἀναπνοή, δι' ὧν φησι· πνεῦμα πυκνὸν μὲν ἐὸν πόνον σημαίνει.

περιεστικόν· σωτήριον. 5

πελάσῃ· ἐγγίσῃ. πέλας γὰρ τὸ ἐγγὺς λέγεται.

προαπαυδησάντων· προαφωνησάντων, ἐξ οὗ δηλοῦται τὸ κεκακωμένον τῆς δυνάμεως. φησὶ γάρ· προαπαυδησάντων παραφροσύναι κάκιστα, ἀντὶ τοῦ ἐπ' ἀσθενεῖ τῇ δυνάμει γενόμεναι φρενίτιδες κακόν. 10

παρενεχθέντι· ὑπενεχθέντι εἰς παρακοπήν.

παρακρουστικόν· παρακοπτικόν. παρακρούειν γὰρ κυρίως ἔλεγον οἱ ἀρχαῖοι τὸ ἐπ' ὀλίγον παραφρονεῖν.

πεπασμός· κυρίως μὲν ἐπὶ τῶν ἀκροδρύων εἴρηται, ὅταν ἐξ ὠμότητος πέπειροι οἱ καρποὶ γίνωνται· καταχρηστικῶς δὲ καὶ 15 ἐπὶ τῶν ἡμετέρων σωμάτων, ὅταν οἱ χυμοὶ πεπανθῶσι.

πινώδεσι· ὑπαροῖς. πίνος γὰρ ὁ ὑπός. καὶ πινηρὰ ἕρια ὅταν φῇ, τὰ οἰσυπηρὰ ἀκουστέον· ἐν ἐνίοις δὲ ὑπομνήμασιν εὕρομεν πίνον λεγόμενον τὸν σπίλον.

TESTIMONIA 3 Prognost. 5 t. II 122 L 5 l. l. 14 t. II 146 L: sedem glossae inuenit Heringa p. 8 6 gl. ad l. d. 24 t. II 182 L, ubi *προσπελάσῃ* legitur, referri uoluit Heringa: num uero recte, dubito 8 Prorrhet. I 8 t. V 512 L, ubi falso *προεξαδυνατησάντων* editur 11 l. s. I 21 t. V 516 L 12 Epid. VI 1, 15 t. V 276 L 14 glossa utrum ex Hippocr. de humoribus 1 t. V 476 L an ex epid. I 2, 5 t. II 634 L petita sit, ambiguum est 17 De humoribus 10 t. V 490 L — *πινηρὰ ἕρια ὅταν φῇ*: Hippocratis locum non inuenimus

ADNOTATIO 1 *προπίπτοντας φ*: correxi 3 *νυν* C 5 *περιεστικόν* em. Heringa: cf. Lobeck paralip. p. 441 *περιεκτικόν φ* 6 *πελάσει· ἐγγίσει φ*: correxit Heringa p. 9 7 *προαφωνησάντων* em. Foes: probauit Ermerins ad Hippocr. l. c. t. I p. 8 *προαναφωνησάντων φ προαποφωνησάντων* coni. Eustachius: cf. Stephani thes. VI c. 1638 *προδιαφωνησάντων* Schleusner l. s. l. I 274 10 *κακόν* Stephanus *καλόν φ pessimae z* 14 cf. Galen. comm. in Hippocr. de hum. 1 t. XVI p. 69 K. *πεπασμοί* C *ἀκροδύων* C 15 *ὠμότητος* B *γένωνται* C 17 *ῥυπος* B *ῥυπός* C 19 *τη σπίλον* B

Digitized by Google

πρὸ τοῦ ἧρας· ἀντὶ τοῦ πρὸ τοῦ ἧρος ὁρᾶν.

πῦρ· τουτέστιν ὁ πυρετός. ἀττικὴ δὲ ἡ λέξις.

πλάδος· ἡ οἷον ἔκχυνος καὶ ὑπόσομφος καὶ δίυγρος τοῦ σώματος διάθεσις καὶ μὴ στερεᾷ κεχρημένη σαρκί.

5 πρωϊαίτερον· πρὸ τοῦ δέοντος καιροῦ.

παρελύθη· παράλυσιν κυρίως καλεῖ τὴν περὶ τὸ δεξιὸν μέρος τοῦ σώματος μάλιστα γιγνομένην.

παλιγκοτωτάτοις· φιλυποστρόφοις νοσήμασι.

πέπλος· βοτάνης εἶδος, ἣν ἔνιοι πέπλιον ὀνομάζουσιν. οἱ δὲ σύμ-

10 φυτον.

πτερυγώδεες· οἱ μακροτράχηλοι καὶ ἐπιπολὺ πλατέα ἔχοντες τὰ στήθη καὶ ἐξέχοντα.

παρέλεγε· παρέκοπτε.

πνεῦμα μινυνθῶδες· τὸ ἀσθενὲς καὶ ὀλίγον.

15 πρόσω· ἀντὶ τοῦ ἔμπροσθεν.

παρθένος· παρθένον νῦν τὴν θυγατέρα λέγει.

πόνος καταιγίζων· ἀντὶ τοῦ σφοδρῶς ἐμπίπτων. εἴρηται δὲ

TESTIMONIA 2 passim: Erotianum in epidem. libros digitum intendere putat Foes p. 545 3 Epid. I 1, 6 t. II 618 L 5 l. l. II 1, 6 t. V 74 L 6 l. s. saepius, e. g. V 17 8 l. d. II 2, 24 t. V 96, quo loco praeter necessitatem παλιγκότοισι mutare uoluit CLStrune opusc. sel. II 169 9 l. i. II 3, 11 t. V 112 L 11 l. l. III 3, 14 t. III 98 L 13 l. l. III 3 aegr. 3 t. III 116 L 14 l. i. 16 l. c. V 50 t. V 236 L 17 l. c. VII 33 t. V 402 L: gl. ad l. l. V 61 rettulit Heringa p. 57

ADNOTATIO 1 glossa corrupta πρωὶ coni. Eustachius, fortasse recte coni. epid. I 1, 1 t. II 598 L ἧαρος omisso ὁρᾶν uoluit Eustachius latet fortasse ἀντὶ τοῦ πρὸ τῆς τοῦ ἧρος ὥρας? ὁρᾶν πῦρ κτλ. coniungit A 3 ἡ om. C ὑπόωμφος B 4 στερεὰ C 5 προϊαίτερον φ: ον em. ς περὶ C 6 μέρ A 8 παλισκοτωτάτοις B φιλοποστρόφοις B 9 Dioscor. IIII 168 Rufus p. 15 Clinch Galen. de simpl. medicam. temp. et facult. VIII 16 t. XII p. 96 K. 11 Galen. comm. 1 in epid. I t. XVIII A p. 62. 727 K. Aret. morb. acut. I 8 ἐπὶ πολὺ B 13 παρέ- θης λεσε AB 14 μινυθῶδες Hippocr. libri 16 παρ A παρθένον C θυγατέραν C de hac loquendi ratione cf. Meineke ber. der berl. acad. der wiss. 1852 p. 582

Digitized by Google

ἀπὸ τῆς καταιγίδος, ἥτις ἐστὶ βιαία καὶ αἰφνίδιος ἀνέμου ἔμπτωσις.

πτοιώδεσι· τὴν πτοίαν οἱ μὲν δέχονται τὸν κίνδυνον. οἱ δὲ τὴν ταραχήν. οἱ δὲ τὸν φόβον.

πόνοι· αἱ ἐνέργειαι. 5

περιμάδαρα ἕλκεα· ἄτροφα καὶ ἀνώμαλα.

προσάρματα· τροφαί.

πόνοι σιτίων ἡγείσθωσαν· ὁ πόνος τρία σημαίνει· ἐνθάδε μὲν τὰ γυμνάσια, ἔνθα φησίν· ἄσκησις ὑγείης, ἀκορίη τροφῆς, ἀσκνίη πόνων. ἀντὶ δὲ ὀδύνης, ὅταν φῇ· δύο πόνων ἅμα γινο- 10 μένων μὴ κατὰ τὸν αὐτὸν τόπον. ἐπὶ δὲ τῆς βλάβης, ὅταν εἴπῃ· ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον· ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον. μὴ ἐπιστήσας δὲ Ἀσκληπιάδης τοῦ ῥητοῦς μὴ ἐξηγουμένου, δι' ὧν ἐπιφέρει, ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον, φησί· πῶς δύναται τοῦτο εἶναι ἀληθές, τοῦ μὲν 15 πόνου κατ' ἐπίτασιν αἰσθήσεως γιγνομένου, τοῦ δὲ ὕπνου κατ' ἔκλυσιν.

πῖαρ· τὸ λιπαρώτατον καὶ νοστιμώτατον. καὶ πιερὸν τὸ λιπαρόν.

TESTIMONIA 3 l. s. VI 2, 20 t. V 288 L 5 l. l. VI 6, 2 t. V 324 L: 6 l. s. VI 8, 2 t. V 342 L: cf. aphorism. VI 4 7 Aphorism. I 15 t. IIII 466 L 8 Epid. VI 4, 23 t. V 314 L — ἐνθάδε: l. l. VI 4, 18 t. V 312 L 10 ὅταν φῇ: Aphorism. II 46 t. IIII 482 L 11 ὅταν εἴπῃ: l. l. II 1 p. 470 L 18 De nat. inf. 21 t. VII 512 L — πιαρόν apud Hippocr. l. c. legitur, quod inde Foës p. 501 Erotiano restitui uoluit.

ADNOTATIO 1 αἰφνήδιος C 6 cf. Erotian. p. 66, 16 περιμάδαρα ς περιμάδρα AB περιμαδρα C ἕλκεα B ἄτροφα (ἄ υ ἀν α sit, dublum) C ἄτοφα A 7 cf. EM. p. 150, 39 προσάρμϊα B 8 cf. EM. p. 682, 19 σιτείων C 9 τὴν γυμνασίαν B τὸ γυμνάσιον Etymologicum magnum ὑγιείας C ὑγείας Charterius ἀκκορίη B 10 ἀσκείη C πόνου A 11 μὴ om. C ἐπὶ καὶ τῆς C 12 ἢν—θα- υ ος νάσιμον om. C δὲ πόν A δ' ὑπόνος B 13 ὠφελέει B 14 μὴ *expungenda aut in aliam uocem mutanda uidetur.* Stephanus ἐξ ὧν φ: corr. Cobet ἐπιφερει B ἢν C ὠφελέει BC 16 γινομένου C 17 ἐκλύσιν C 18 πῖαρ scripsi πίαρ φ πίερον φ: correxi

Digitized by Google

πίλοισι· πῖλοι καλοῦνται παρὰ Λάκωσι τὰ σκέπης καὶ σκιᾶς χάριν πεποιημένα.

πρόβατα· οὕτω καλεῖται κοινῶς πάντα τὰ τετράποδα νῦν.

παραμπεχόμενοι· παρακαλυπτόμενοι. εἴρηται δὲ παρὰ τὴν
5 ἀμπεχόνην, ἥτις ἐστὶ παρακάλυψις.

παιδικὸν πάθος· παιδείαν νῦν τὴν παιδοτροφίαν. ὅθεν καὶ Σοφοκλῆς ἐν Πελίᾳ φησί·

λευκὸν αὐτὴν ὧδ' ἐπαίδευσεν γάλα.

περονᾷν· διατρυπᾷν.

10 πλάτας· τὰς ὠμοπλάτας.

παρήκουσι· παρατέτανται.

πιπίσκοντα· ποτίζοντα.

περόνας· τὰς κονδυλώδεις τῶν ὀστῶν ἐπαναστάσεις. οὕτω κεῖται νῦν, ὁτὲ δὲ ἀντὶ τῆς κερκίδος τάττει τὴν λέξιν. Διαγόρας δὲ ὁ
15 Κύπριός φησι τὰ προαιρετικὰ νεῦρα περόνας αὐτὸν καλεῖν.

TESTIMONIA 1 De aere, aquis 18 t. II 68 L. 3 l. l. 18 indice Foesio not. ad Hippocr. l. l. p. 331 4 De morbo sacro 1 t. VI 354 L 6 gl. ad Hippocr. de aere, aquis 3 rettulit Foes p. 476: sed cf. Ermerins t. I p. 244 7 Sophocles fr. 443 p. 189 Nauck 10 De locis in hom. 6 t. VI 286 L 11 l. c. 6 p. 286 L 12 l. i. 21 p. 314 L 13 cf. l. c. 6 p. 286 L

ADNOTATIO 1 πίπλοισι C πῖλοι scripsi πίλοι φ σκεπάσματα z 3 Erotian. fragm. XXV Eustath. ad Il. p. 877, 49 ad Od. p. 1828, 56 Hesych. III 373 Apoll. p. 136, 11 Photius p. 450, 2 καλεῖται coni. Nauck Aristoph. Byz. fragm. p. 200 n. 19 καλεῖ φ τὰ om. C 5 ἔστι C παρακάλυψις GDindorf thes. VI c. 335 παρακατάληψις φ 6 glossam cum antecedenti coniungit A παιδικὸν (ὸν corr. ex ῆς) A παίδειον Foes. p. 477 παιδίαν φ: corr. Stephanus Foes 7 Πηλεῖ coni. GHermann praef. ad Eurip. Alcest. p. XVII φησὶν B 8 ante λευκὸν syllaba deest οὐ λευκὸν coni. Welcker die griech. trag. p. 343 λύκειον Nauck ὧδ' ἐπαίδευσε φ: corr. Welcker λευκὸν γὰρ αὐτὴν οὐκ ἐπαίδευσεν γάλα coni. Brunck: probauit Cobet, nisi quod λευκὴν scripsit 9 περονᾷν· διατρυπᾷν em. Stephanus περόνα Az πέρονα BC διάτροπιν φ διατροπὴν z 10 Phauorinus Pollux II 133 Hesych. III 342 13 Galen. p. 544 14 ὁτε AB 15 κύπριος φησὶ B περόναι C καλεῖ C *neruos arbitror uoluntarios ipsum appellare* z

Digitized by Google

πλανώδεα· ἔστι τὰ μὴ κατὰ τάξιν γινόμενα. ὅθεν καὶ πλάνητες πυρετοὶ λέγονται οἱ μὴ κατὰ τάξιν φοιτῶντες.

πλήμνας· τὰς χοινικίδας τοῦ τροχοῦ, δι' ὧν ὁ ἄξων στρέφεται.

περαιωθεῖσαι· εἰς ἀλλήλας συννεύσασαι, ὡς ἑκατέραν λυβεῖν τέλος.

πελλόν· ὑπόφαιον. ἀγνοοῦντες δέ τινες γράφουσι πέλιον 5

ὡς καὶ Σοφοκλῆς ἐν Ποιμέσι καὶ ἐν Ἀμφιαράῳ φησί·

κυνὸς πελλῆς τε μηκάδος βοὸς

ῥινέων.

προμηθέεσθαι· προβουλεύεσθαι. φροντίζειν.

περκνόν· μέλαν. 10

προβουλεύοντες· προγιγνώσκοντες καὶ προφυλαττόμενοι.

πηχέδεον· τὸν ταῦρον. οἱ δὲ τὸ περίνεον. Βακχεῖος δὲ διάβασίν τινα.

TESTIMONIA 1 glossa nunc apud Hippocr. non extat — πλάνητες πυρετοί: saepius, uelut epid. I 2, 4 t. II 618 L 3 Mochlic. 38 t. IIII 386 L? 4 De nat. ossium 7 t. VIIII 174 L 5 Prognost. 2 t. II 118 L 6 Sophocles Past. fr. 466 p. 193 Nck — Soph. Amphiar. fr. 111 p. 123 Nck 9 De fractis saepius: locos indicauit Foes p. 531 10 De uoln. cap. 19 t. III 254 L 11 De fract. 1 t. III 412 L?

ADNOTATIO 1 πλανώδεα. ἔστι em. dς πλανωδε· τὰ A πλα-
χ
νωδε· ἔστι τὰ C πλανωδέστατα· τὰ BD κατατάξιν C πλα-
νῆτες φ: correxi πλανῆται GDindorf thes. VI col. 1152 2 αἱ B
οἱ μὲν et φοιτῶνται Franz 3 Galen. p. 546 Pollux I 145 αἱ χοινι-
κίδες z δι' οὗ φ: em. ς 4 περωθεῖσαι C περαιωθεῖσαι εἰς
ἀλλήλας coniunxit z συνεύσασαι AB 5 Galen. p. 542 πελλόν
scripsi πέλλον φ ὑπόφαιον ς ἱππόφαιον AB ἱππόφαλον C
πελιόν Foes p. 491: cf. Arcad. p. 41, 3 πέλιον ς πέλλιον φz ante
ὡς non nulla perierunt, unde lacunam statui 7 πέλλης φ: correxerunt
Salmasius ad Tertull. de pallio p. 131 et Valckenaer ad Theocr. V 99 τὲ AC
τε Ἰμηκάδος Foes 8 ῥηνέων φ: em. ς fortasse ῥινῶν? ῥινὸν Nauck
ῥινὸν βοὸς coni. Brunck βοῦ τ' ἄρσενος Lobeck paralip. p. 344 duos
uersus ab Erotiano confusos esse alterum e Pastoribus, ex Amphiarao alterum
desumptum existimauit GDindorf thes. VI c. 706: quorum illum αἰγός τε
πελλῆς μηκάδος scriptum fuisse coni. Duentzer philol. III 138 9 προ-
βούλεσθαι C 10 Galenus p. 544 ab CBHasio thes. VI col. 993 emen-
datus 11 προγινώσκοντες C 12 πηχέδεον non expedio πλιχάδα
speciose coni. Ermerins conl. Hippocr. de fract. 20 t. III 484 L τὴν διά-
βασιν uoluit Ermerins τινά BC

Digitized by Google

πελάσει· ἐγγίσει.

πισσηρὴν κηρωτήν· τὴν τετραφάρμακον καλουμένην.

πυκινή· πυκνή.

πλοώδης· Εὐρυκλῆς φησιν εὐρύχωρον χάλασμα ἔχουσα καὶ οἷον
5 ἐμπλέουσα.

περιῤῥηδές· ἑκατέρωθεν ἐγκεκλιμένον μηνοειδῶς. ἔνιοι δὲ περιφερές.

περιτενές· περιτεταμένον.

πρόσαρσιν· προσφοράν.

10 πρήγματα· κτήματα.

ποταίνια· Βακχεῖος ἐν β̄ φησὶ τὰ πρόσφατα.

πυθμενόθεν· Βακχεῖος ἐν β̄ φησὶν ἐξ ἀρχῆς· ἔστι δὲ μᾶλλον κάτωθεν καὶ οἷον ἐκ βάθους. εἴρηται γὰρ ἀπὸ τοῦ πυθμένος.

πεντάφυλλον· βοτάνης ὄνομα.

15 πικερίῳ· βουτύρῳ. ὡς καὶ Ἀριστοφάνης ἐν τοῖς ὑπομνήμασί

TESTIMONIA 2 l. c. 26 t. III 502 L 4 De artic. 14 t. IIII 124 L 6 l. c. 16 t. IIII 128 L 8 l. l. 46 t. IIII 200 L ? 11 π. διαίτ. ὀξέων 10 t. II 300 L 12 l. c. 11 p. 308 L 14 De ulceribus 20 t. VI 424 L 15 De morb. mul. saepe, e. c. II 121 t. VIII 262 L — Aristoph. Byz. fr. CI p. 234 Nck: Aristoteles hypomn. hist. fragm. 5a (584 ?) apud Val. Rose Aristot. pseudepigraph. p. 563

ADNOTATIO 1 πελάσαι· ἐγγίσαις 2 πισσηρὸν B πισσυρὴν z 3 πικυνή Bz 4 Galen. comm. 1 in l. l. t. XVIII A p. 415 K. Foes p. 515 Εὐρυκλῆς corruptum uidetur: Ἐπικλῆς coni. Fabricius 6 περιῤῥηδές em. Eustachius: cf. Galen. gloss. p. 544 comm. in Hippocr. de artic. t. XVIII A p. 420 K. περρίδας A περρίσαι Bz περίνναι C περῤῥέλαι D ἐγκεκλιμμένον C 8 Greg. Cor. p. 556 περιτανεὺς C περιτενέος· περιτεταμένου coni. Foes conl. Hippocr. l. c. 10 πρόγματα C 11 glossam Jonibus adscribit Gregorius Cor. p. 556 cf. Galen. t. XI p. 59 ed. Bas., Doriensibus autem Galenus p. 548 et Photius p. 445, 13 φησὶ ἐν β̄ Charterius 12 Galen. p. 550 14 Theophr. h. pl. VI 4 Dioscor. IIII 40 πεντάφυ λλ C πεντα φυ λλ B πενταφύλλης 15 Galen. p. 544 Psellus de gramm. u. 439 Zonaras c. 1551 Ἀριστοφάνης corruptum Ἀριστοτέλης coni. Nauck philol. V 861 Val. Rose l. s. c. p. 563 Aristophaneam Aristotelis περὶ ζώων epitomen intellexit Braune n. jahrb. f. philol. und pädag. uol. LV p. 358 ὑπομνήμασι φησὶν BC

Digitized by Google

φησιν, ὅτι Θόας ὁ Ἰθακήσιος ἱστορεῖ παρὰ Φρυξὶ πκέριον καλεῖσθαι τὸ βούτυρον.

πηρῖνα· τὸν ὄσχεόν φησιν οὕτω καλεῖσθαι Ἀντίγονος ὁ γραμματικὸς παρὰ τὸ ὡς ἐν πήρᾳ ..... φησι·

[ἠὲ] καὶ ἐξ ἐλάφοιο [ταμὼν] πηρῖνα θοραίην. 5

παλύνων· ἐπιπάσσων. ὡς καὶ Ὅμηρός φησιν·

ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνεν.

πίσσα ἡδυντή· ἡδυντὴν πίσσαν λέγει τὴν ἠρτυμένην.

πάλης ἀλφίτου· πάλη λέγεται τὸ λευκότατον καὶ λεπτότατον τοῦ ἀλφίτου. 10

πολφοί· βολβοί, ὡς Μεταγένης φησί·

ῥαφανῖδος,

ἀμύλου, λεκίθων, καρύων, ζωμοῦ, οἴνου, κολοκύνθης.

οἱ δὲ βρῶμά τι πολτῶδες φασὶν εἶναι.

TESTIMONIA 3 glossam ad Hippocr. de morb. mul. I 75 t. VIII 166 L, ubi *περίνεον* legitur, rettulit Heringa p. 12 5 Nicander Ther. u. 586 6 De morb. mul. I 78 t. VIII 174 L — *Λ* 640 8 De morb. mul. II 205 t. VIII 394 L 11 falsa lectio apud Hippocr. l. i. II 118 t. VIII 254 L — Metagenes fr. inc. I uol. II 2 p. 759 Mein.

ADNOTATIO 1 *ὅτι Θόας* om. C *φριξὶ* AC 3 Galen. p. 544 Suidas Psellus de gramm. u. 452 *πηρῖνα* correxerunt Foes p. 504 et Schmidt ad Hesych. III 316 *πήνιρα φ πειρῖνα* uoluit Gesner *ὄσχεόν*: Rufus Ephes. p. 51 Clinch *τῶν δὲ αἰδοίων .... τὸ μὴ ἐκκρεμὲς ὑπόστημα ἢ περίναιος.* *ὄσχεον φησιν* BC 4 *πήνα* B *πόρα* C lacunam indicauerunt Eustachius et Foes, quae sic explenda uidetur: *ὡς ἐν πήρᾳ τοὺς διδύμους εἶναι· ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς φησι· ἠὲ καὶ κτλ.* *φησὶ δὲ καὶ Νίκανδρος* proposuit Gesner *φυσὶ* z 5 *ἠὲ* om. *φ*: add. *ς* *ταμὼν* e Nicandro suppleui *πηρῖνα* Nicander *καὶ πηνάρα φz* 6 Greg. Cor. p. 555 *Ὅμηρος φησὶν* BC 8 Galen. p. 478 *πίσσαν ἡδυντήν* mauolt Foes p. 510 *ἠρίημενην* C 9 Hesych. III 259 *πάλην* cum Foesio maluerim *πάλη*] *'παλή· οὕτω γὰρ ὀξυτόνως καλεῖται.'* schol. Venet. K 7 11 *πόλφοι φ*: em. *ς* *βολβοί* ad Metagenis uerba pertinere putauit Cobet *μετὰ γένης* B 12 *ῥαφανίδος φ*: corr. Meineke 13 *λεκίθων* Meineke, qui *λεκίθου* praefert *λεκύθων φ* *οἴνου* corruptum censet Meineke *κολοκύντης* Meineke conl. Phryn. p. 437 Lobeck 14 *βρῶμά*: cf. Polluc. VI 61 Hesych. III 359 *βρῶμα-|τι* B *πελτῶδες* B

Digitized by Google

πρόμαλον φώξας· πρόμαλόν ἐστιν εἶδος φυτοῦ· οὗ μέμνηται καὶ Εὔπολις ἐν Αἰξί.

πωρωθῆναι· παχυνθῆναι. καὶ παγῆναι.

Πύλας· τόπος Θεσσαλίας, ἐν ᾧ καὶ τὸ τῆς πυλαίας Δήμητρος
5 *ἱερὸν ἵδρυται.*

περνάς· πωλῶν. ὡς καὶ Ὅμηρός φησιν·

κτείνων καὶ περνὰς νήσων ἔπι τηλεδαπάων.

προξένους· οὕτως ἐκάλουν οἱ παλαιοὶ τοὺς ἐν ἄλλαις πόλεσι μένοντας καὶ εἰς ξενίαν ἐπιδεχομένους καὶ φροντίζοντας φίλων μέν,
10 *οὐκ ὄντων δὲ πολιτῶν.*

Ἀρχὴ τοῦ ῥ

Ῥέγχος· ὁ ῥωχμός, ὡς κἂν τῷ περὶ πτισάνης.

ῥὶς ὀνυχογραφηθεῖσα· ῥὶς ὑπ' ὄνυχος ξεσθεῖσα. γράψαι γὰρ λέγεται τὸ ξέσαι· ὡς καὶ Ὅμηρός φησι·
15 *νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδός.*

ῥινός· τὸ δέρμα.

ῥόμβος· ἐπιδέσμου ὄνομα.

TESTIMONIA 1 De morb. mul. II 192 t. VIII 374 L 2 Eupolis Capr. fr. I uol. II 1 p. 426 M. 6 X 45 12 Epid. VII 18 t. V 390 L — *π. πτισάνης: π. διαίτ. ὀξέων* 5 t. II 260 L 13 Epid. VI 6, 4 t. V 324 L 14 *Λ* 388 16 Epid. VI 4, 22 t. V 312 L, ubi *ῥινόν* legitur 17 De off. med. 7 t. III 292 L

ADNOTATIO 1 *φρίξας* C *πρόμαλον ἐστιν* BC 4 cf. Welcker gr. goetterlehre I 389 5 *ἵδρυται* BC 6 *Ὅμηρος φησὶ φ*: correxi 7 *περνὰς — τηλεδαπάων* om. C *ἔπι* Homerus *ἐπὶ φ τηλιδατάων* B 8 cf. HEMeier de proxenia p. 2 9 *ὑποδεχομένους* mauolt Valckenaer animadu. ad Ammon. III 10 p. 201 *καὶ* om. B 12 *ῥεγχος* B *ἐν ὠχμὰς* B *ἡ ῥωχμὴ* C *ῥογμός* Charterius *ῥέγχους· ῥογμοῦ* coni. Foes p. 551 *πτισάνης φ*: correxit Eustachius 13 *ῥινονυχογραφηθεῖσα φ*: em. Foes p. 554 *ῥίνα ὑπ'* FO: tuetur Stephanus 14 *Ὅμηρος φησὶ* BC 16 hanc glossam cum antecedenti coniungit z fortasse *ῥινόν* scribendum coni. Hippocr. l. c. 17 *ῥόμβος* Stephanus *ῥομβός φ*

Digitized by Google

ῥαιβοειδέστατον· καμπυλώτατον. ῥαιβὸν γὰρ καὶ γαῦσον τὸ στρεβλὸν λέγεται. καὶ τὸς δέ πού φησι· καμπυλώτατοι δὲ ἀνθρώπου πλευραὶ εἰσὶ ῥαιβοειδέα τρόπον. Ἀσκλατίων [δὲ] ἐπὶ τοῦ κατά τι μὲν κοίλου, κατά τι δὲ καμπύλου, ὡς Κινησίας τάσσει τὴν λέξιν. 5

